ΤΟΥ ΜΑΚΑΡΙΟΥ

# ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ

Ἀρεοπαγίτου τὰ εὑρισκόμενα.

Μαξίμου σχόλια, εἰς τὰ αὐτά.

Γεωργίου τοῦ Παχυμέρη παράφρασις.

Μιχαὴλ τοῦ συγγέλου ἐγκώμιον.

1ª
20939

# DIONYSII AREOPAGITÆ

opera quæ extant.

In eadem Maximi Scholia.

Georgij Pachymeræ Paraphrasis.

Michaëlis Syngeli Encomium.

*Latine omnia mox edenda.*



Βασιλεῖ τ᾽ ἀγαθῷ κρατερῷ τ᾽ αἰχμητῇ.

PARISIIS, M. D. LXII.

Apud Guil. Morelium, in Græcis typographum Regium.

BIBLIOTECA UNIVERSITARIA · SALAMANCA ·

ILLVSTRISS. PRINCIPI, CARDINALIQVE AMPLISS. CAROLO LOTHARINGO, HOSCE CLARISSIMI ET SANCTISS. DIONYSII AREOPAGITAE LIBROS ERVDITA GEORGII PACHYMERAE PARAPHRASI, ET B. MAXIMI SCHOLIIS DOCTISS. EXPLANATOS: ID EST, EI QVI ALTISSIMVM IN REGNO GALLORVM DIGNITATIS ET ORDINIS ECCLESIASTICI GRADVM TENET, EVM QVI POST APOSTOLOS PRIMVS GALLICVM POPVLVM SVA PRÆDICATIONE CHRISTVM DOCVIT, ET VNIVERSAM

¶ 2

# DE DIONYSIO AREOPAGITA,
*veterum scriptorum testimonia.*

DIONYSIVM Areopagitam, generis nobilitate præclarum, Athenis magistratum illum gessisse quo nihil sanctius, seuerius, constantius in tota Græcia fuit, antequam eum Christiana religione D. Paulus imbueret, veteres testantur auctores, & ex Actorum Apostolicorum verbis colligunt. *Quidam, inquit, viri adhærentes Paulo crediderũt: in quibus & Dionysius ille Areopagita, & mulier nomine Damaris, & alij cum eis.*

AMBROSIVS Epistola 82. lib. 10. loquens de iis quos B. Paulus conuertit, *Ex hoc,* inquit, *numero non immunis gratiæ abiit Apostolus. Siquidem etiam Dionysius Areopagita cum Damari vxore sua aliisque multis credidit. itaque illi doctissimorum & eloquentium cœtus, simplici disputatione victos se esse credentium exemplo manifestarunt.*

HILDVINVS in epistola quadam ad Ludouicum Pium semper Augustum, *Quid tenendum,* inquit, *de hoc sanctiss. martyre Christi sit* (de Dionysio loquitur) *quidve credendum, notæ & probatissimæ personæ veracibus dictis declarant. Genere siquidem eum nobilissimum, & philosophiæ magisterio insignem apud Athenas claruisse, & aliarum historiarum & Actuum apostolorum testimonio secula prisca seu instantia cognouerunt. Maxime*

# ΔΙΟΝΥΣΙΟΥ ΑΡΕΟΠΑΓΙΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΑΘΗΝΩΝ, πρὸς Τιμόθεον ἐπίσκοπον, περὶ τῆς οὐρανίας ἱεραρχίας.

Ὅτι πᾶσα θεία ἔλλαμψις κατ' ἀγαθότητα ποικίλως εἰς τὰ προνοούμενα προϊοῦσα, μένει ἁπλῆ· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἑνοποιεῖ τὰ ἐλλαμπόμενα. κεφάλ. α.

## ΤΩ ΣΥΜΠΡΕΣΒΥΤΕΡΩ Τιμοθέῳ, Διονύσιος ὁ πρεσβύτερος.

ΠΑσα δόσις ἀγαθή, καὶ πᾶν δώρημα τέλειον, ἄνωθέν ἐστι, καταβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν φώτων· ἀλλὰ καὶ πᾶσα πατροκινήτου φωτοφανείας πρόοδος, εἰς ἡμᾶς ἀγαθοδότως φοιτῶσα, πάλιν ὡς ἑνοποιὸς δύναμις, ἀνατατικῶς ἡμᾶς ἀναπληροῖ, καὶ ἐπιστρέφει πρὸς τὴν τοῦ συναγωγοῦ πατρὸς ἑνότητα καὶ θεοποιὸν ἁπλότητα· καὶ γὰρ ἐξ αὐτοῦ τὰ πάντα καὶ εἰς αὐτόν, ὡς ὁ ἱερὸς ἔφη λόγος.

EXCVDEBAT GVIL. MO-
RELIVS IN GRÆCIS TY-
POGRAPHVS REGIVS,
LVTETIÆ PARISIO-
RVM, PRIDIE IDVS
MART. M. D. LXII.



# ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΠΑ-ΧΥΜΕΡΗ ΠΑΡΑΦΡΑΣΙΣ ΕΙΣ τὰ τοῦ ἁγίου διονυσίου τοῦ ἀρεοπαγίτου, τοῦ ἀθηνῶν ἐπισκόπου, εὑρισκόμενα.

# GEORGII PACHYMERÆ paraphrasis in omnia Dionysij Areopagitæ, Athenarum episcopi, opera quæ extant.

Βασιλεῖ τ' ἀγαθῷ κρατερῷ τ' αἰχμητῇ.

PARISIIS. M. D. LXI.
Excudebat Guil. Morelius, in Græcis typographus Regius.

# ΤΟΥ ΛΟΓΙΩΤΑΤΟΥ ΚΑΙ ΣΟΦΩΤΑΤΟΥ ΙΕΡΟΜΝΗΜΟΝΟΣ

τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, Γεωργίου τοῦ Παχυμέρη, παράφρασις εἰς τὸν ἅγιον ἱερομάρτυρα Διονύσιον τὸν Ἀρεοπαγίτην, ἐκ προτροπῆς τοῦ ἁγιωτάτου πάπα καὶ πατριάρχου Ἀλεξανδρείας, κύρου Ἀθανασίου ἐπιδημήσαντος τῇ Κωνσταντινουπόλει, πρὸς ὃν καὶ τὸ προοίμιον.

Ἄνθρωπε τοῦ θεοῦ, καὶ πατὲρ θεράπον, καὶ οἰκονόμε τῶν Χριστοῦ μυστηρίων, καὶ ἀνὴρ ἐπιθυμιῶν, πολλῶν μὲν καὶ ἄλλων, καὶ μεγάλων, ἀτὰρ δὴ τῶν τοῦ πνεύματος, ὧν ἁπάντων, τὸ σαρκὶ νεκρωθῆναι καὶ ζῆσαι Χριστῷ τὸ κεφάλαιον· καὶ τοῦτο οὐ χθὲς, καὶ πρῴην, οὐδ᾽ ἐξ ὀλίγου, ἢ μὴν καὶ ἐκ πολλοῦ σοι πεφιλοσόφηται· ἀλλὰ βρεφόθεν καὶ ἐξ αὐτῆς σχεδὸν τῆς γενέσεως. οἶδε ταῦτα τὸ Σίναιον ὄρος, καὶ ἡ ἐκεῖσε μεγαλώνυμος μάνδρα, ὅπου κατ᾽ ἀρετὴν μαθητευθεὶς, καὶ τοῖς πνευματικοῖς ἱδρῶσι προσπλεχθεὶς, ἐπὶ τὸν Μάρκου θρόνον ἀνάγῃ· καὶ κλῆσιν πλουτήσας τὴν μετ᾽ ἐκεῖνον, τῷ χρόνῳ μὲν, πολλοστοῦ· τῇ δ᾽ ἀρετῇ, καὶ εὐθὺς μετὰ τοῦτον καὶ οὐ πολλοστὸς μὲν τῷ χρόνῳ γνωρίζῃ· τοσοῦτον δὲ τῶν μετ᾽ ἐκεῖνον ἁγίων καθυστερεῖς, ὅσον καιροῖς ἰδίοις λαμψάντων ἐκείνων ἐπ᾽ ὠφελείᾳ τοῦ χριστεπωνύμου λαοῦ, σὺ ταμιευθῇς τοῖς ἡμετέροις καιροῖς, καθὼς οἶδεν ἡ τὰ πάντα φρουροῦσα καὶ διεξάγουσα πρόνοια· ἐφ᾽ ᾧ, τῷ μὲν, τὸν τρόπον· τῷ δὲ, τὸν λόγον· καὶ

# ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΠΑ-ΧΥΜΕΡΗ ΠΑΡΑΦΡΑΣΙΣ ΕΙΣ τὸν τοῦ ἁγίου ἱερομάρτυρος διονυσίου τοῦ ἀρεοπαγίτου, λόγον περὶ τῆς ἐκκλησιαστικῆς ἱεραρχίας.

## ΚΕΦΑΛΑΙΟΝ α.

ΦΗσὶν ὁ μέγας διονύσιος πρὸς τὸν τῶν ἐφεσίων ἐπίσκοπον τιμόθεον, ὃν καὶ συμπρεσβύτερον καλεῖ, οἱονεὶ συνεπίσκοπον, ὡς καὶ ἑαυτὸν πρεσβύτερον, ἀλλ' ἐπίσκοπον· οὕτω γὰρ καὶ ὁ παῦλος, ταῖς τῆς ἀσίας συντασσόμενος ἐκκλησίαις, φησὶν, ὡς ἐν ταῖς πράξεσι φέρεται· φησὶ τοίνυν, δανεισάμενος ἐκ τοῦ ἰακώβου τὸ προοίμιον, ὅτι πᾶσα ὑπεροχὴ ἀγαθοῦ, καὶ πᾶν χάρισμα τέλειον καὶ ἀνελλιπὲς, πάντως καθ' αὑτό· ἐπεὶ διὰ τὴν τῶν ὑποδεχομένων ἕξιν πολλάκις ἐλλείπει· καὶ οὐ παρὰ τοῦ χαρίσματος τοῦτο, ἀλλὰ τῆς ἡμετέρας δυνάμεως χωρούσης, καθ' ὅσον οἷά τε ἐστίν· ὡς γὰρ ὁ αὐτὸς ἥλιος, διαφόροις ὑποκειμένοις ἐπιπολάζων, ἕτερον ἑτέρου πλέον θερμαίνει· καὶ οὐ τοῦ ἡλίου τοῦτο, ἀλλὰ τῶν ὑποδεχομένων τὸν ἥλιον· οὕτω καὶ τὸ θεῖον δώρημα τέλειον ὂν, κατὰ τοὺς ὑποδεχομένους ὑφίεταί τε καὶ ἐπιτείνεται. πᾶν τοίνυν τέλειον δώρημα, ἄνωθέν ἐστι, καταρχόμενον ἀπὸ τοῦ τῶν φώτων πατρός. πατέρα δὲ τῶν φώτων λέγει τὸν θεὸν ὁ μέγας ἰάκωβος, ὡς πατέρα οἰκειούμενον, τὸν αὐτοφῶς ὄντα, καὶ δημιουργὸν καὶ συντηρητικὸν τῶν φώτων· πατὴρ γάρ ἐστιν ὁ προάγων καὶ τηρῶν τὰ ἐξ αὐτοῦ· οὕτω καὶ ὁ θεὸς πατὴρ τῶν φώτων, ὡς καὶ πάσης κτίσεως ἐστὶ δημιουργός.

θείαν ἀποκάλυψιν. καὶ μετὰ ταῦτα βασιλεὺς νέρουας· καὶ εὐθὺς ἀνακαλεῖται πάντας τοὺς ἐξορισθέντας, ὅτι καὶ ὁ ἅγιος ἰωάννης ὁ θεολόγος ἐπανῆλθεν εἰς ἔφεσον. δεῖ δὲ γινώσκειν, ὅτι ἡ ἐπὶ τὴν νῆσον ἐξορία παρὰ ῥωμαίοις, κεφαλικὴν ζημίαν ἐμιμεῖτο· καὶ λέγεται δεπορτατίων. καὶ οὐ δύναται ὁ ἄρχων τὴν νῆσον ὀνομάζειν, εἰ μὴ ὁ βασιλεὺς μόνος. ὁ γοῦν ἁγιώτατος ἀπόστολος καὶ εὐαγγελιστὴς ἰωάννης ὁ θεολόγος, δεπορτάτος ἐγένετο, ἤγουν εἰς νῆσον ἐξόριστος.

PARISIIS. M. D. LXI.
Excudebat Guil. Morelius, in Græcis typographus Regius.

BIBLIOTECA UNIVERSITARIA · SALAMANCA ·